ἐμῆ[ς]. ὁ πατὴρ ἀλλότριος εἶναι βούλεται
αὐ[τ]ῆς πρὸς ἡμᾶς· μὴ τὸ τούτου δύσκολον
μ[ι]μώμεθ' ἡμεῖς. ἂν γὰρ αἰσχύνῃ τινὶ
αὕτη] περιπέσῃ, τοῦτο κἀμοὶ γίνεται
ὄνειδο]ς· ὁ γὰρ ἔξωθεν οὐ τὸν αἴτιον
ὅστις π]ο̣τ' ἐστὶν οἶδεν, ἀλλὰ τὸ γεγονός.
. . . . . .].
(Δα.) ὦ τᾶν, τὸν γέροντα, Γοργία,
δέδοικ'· ἐ]ὰ̣ν γὰρ τῇ θύρᾳ̣ προσιόντα με
λάβῃ, κρ]εμᾷ̣ παραχρῆμα.
Γο. δυσχρήστως γέ πως
ἕξεις ζυ]γομαχῶν. τοῦτον οὔθ' ὅτῳ τρόπῳ̣
ἀναγκάσαι τις εἰς τὸ βέλτι[ον ῥέπει]ν
οὔτ' ἂν μεταπεῖσαι νουθετῶν ο[ἶδ' οὐδὲ εἷ]ς.
ἀλλ' ἐμποδὼν τῷ μὲν βιάσασθαι [τὸν ν]όμον
ἔχει μεθ' αὑτοῦ, τῷ δὲ πεῖσαι τὸν τρ[όπο]ν.
Δα. ἔπισχε μικρόν· οὐ μάτην γὰρ ἥκομεν,
ἀλλ' ὥσπερ εἶπον ἔρχετ' ἀνακάμψας πάλιν.
Γο. ὁ τὴν χλανίδ' ἔχων οὗτός ἐστιν ὃν λέγεις;
(Δα.) οὗτος.
(Γο.) κακοῦργος εὐθὺς ἀπὸ τοῦ βλέμματος.
Σω. τὸν μὲν Γέταν οὐκ ἔνδον ὄντα κατέλ[α]βον,
μέλλουσα δ' ἡ μήτηρ θεῷ θύειν τινὶ
οὐκ οἶδ' ὅτῳ̣. ποεῖ δὲ τοῦθ' ὁσημέραι,